ΑΝΔΡΟΜΑΧΗ.

*Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,*
*ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ*
*Πριάμου τύραννον ἑστίαν ἀφικόμην*
*δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,*
*ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,*
*νῦν δ', εἴ τις ἄλλη, δυστυχεστάτη γυνή·*
*[ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε]*
*ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως*
*θανόντ' ἐσεῖδον, παῖδα δ' ὃν τίκτω πόσει*
*ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,*
*ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον,*
*αὐτὴ δὲ δούλη τῶν ἐλευθερωτάτων*
*οἴκων νομισθεῖσ' Ἑλλάδ' εἰσαφικόμην*
*τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας*
*δοθεῖσα λείας Τρωικῆς ἐξαίρετον.*
*Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας*
*σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία*
*Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις*
*φεύγουσ' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς*
*Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων.*
*ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,*
*Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,*

---

1 *θηβαῖα A* | *πόλις BP* (*γρ. καὶ δίχα σ̄* superscr. *b*), *πόλι L*, *πτόλι r* 6 *εἴ τις AELP*, *οὔτις Bl* (*εἴ* super *οὔ* scr. *b*) 7 schol. *οἱ ὑποκριταὶ τὸν ἴαμβον προσέθηκαν ὑπονοήσαντες εἶναι τὴν γραφὴν δὴ τίς, ἵν' ᾖ οὕτως· νῦν δὴ τίς ἄλλη, καὶ ἀντὶ τοῦ συγκριτικοῦ τὸ δυστυχεστάτη φασίν*, eiecit versum Valckenaer 8 *ἀχιλέως B* corr. *b* 9 *παῖδα δ' B*, *παῖδ' E*, *δα* superscr. minio, *παῖδά θ' r* 10 *ῥιφθέντα LB*, *ῥιφέντα r* 11 *τροίης P* | versum delet Nauck 13 *νομισθεὶς A* 16 *καὶ πόλεως Φαρσαλίας*] fort. *τῇ πόλει Φαρσαλίᾳ* 17 *νέω P* corr. *p* 19 *φέγγουσ* et *θεσαλὸς B* 19 sq. delet Klinkenberg 21 *ἀχιλέως B* corr. *b* 22 *φαρσιλίας A*